# MYTHOLOGICA

## ΟΙ ΜΥΘΟΙ ΤΗΣ ΧΑΡΑΣ

### ΑΛΕΞΑΝΔΡΟΣ. ΤΟ ΕΛΛΗΝΙΚΟΝ ΠΑΙΔΙΟΝ



César Martínez Sotodosos

Mercedes Ovejas Arango

Cultura Clásica

# MYTHOLOGICA

# ΟΙ ΜΥΘΟΙ ΤΗΣ ΧΑΡΑΣ

## ΑΛΕΞΑΝΔΡΟΣ. ΤΟ ΕΛΛΗΝΙΚΟΝ ΠΑΙΔΙΟΝ

CÉSAR MARTÍNEZ SOTODOSOS
MERCEDES OVEJAS ARANGO

CULTURA CLÁSICA
ANNO MMXVI

MYTHOLOGICA. ΟΙ ΜΥΘΟΙ ΤΗΣ ΧΑΡΑΣ

*Scripserunt*
Mercedes Ovejas Arango (Dei) & César Martínez Sotodosos (Mythi)

Ad usum discipulorum qui libro c. t. ALEXANDROS, TO HELLENIKON PAIDION, a Mario Díaz Ávila conscripto, utuntur.

*Adiuverunt in corrigendo*
Mario Díaz Ávila & Charles Delattre

*Imagines delineaverunt*
Tomás Martín Rubio & Mario Díaz Ávila

© CULTURA CLÁSICA, 2016
Camino de Ronda, 164, 5º C
18003-Granada, España
Tel. (+34) 958 044 000
www.culturaclasica.es
culturaclasica@gmail.com

ISBN: 978-84-935798-9-0
Depósito Legal:

Impreso en España – *Printed in Spain*

*Ex oficina typographica* Gráficas Alhambra

Omnia propietatis iura reservantur

No está permitida la reproducción total o parcial de este libro, ni su tratamiento informático, ni la transmisión de ninguna forma o de cualquier medio, ya sea electrónico, mecánico, por fotocopia, por registro u otros métodos, sin el permiso previo y por escrito de los titulares del copyrigh.

AGRADECIMIENTOS

Esta edición ha sido posible gracias al apoyo recibido por parte de Antonio González Amador y Emilio Canales Muñoz, miembros fundadores de la Asociación Cultura Clásica.com y responsables tanto de la publicación en España del curso ‘Lingua Latina per se ilustrata’, como de la serie ‘Lingua Graeca’, iniciada con *Aléxandros* y *Diálogos* y ahora continuada con *Mythologica*.

Por otra parte, este trabajo no se hubiera gestado sin nuestra compañera y amiga Ana Ovando, alma mater de *Mythologica*, y sin Mario Díaz, autor de *Aléxandros*, que se ha encargado de la coordinación y dirección, así como también de la maquetación, revisión y corrección.

Queremos hacer extensibles estos agradecimientos a Charles Delattre, que ha participado en la corrección de los textos tanto a nivel lingüístico como en el campo de la mitología.

Agradecemos, también, a Tomás Martín, que junto con Mario Díaz, se ha encargado de la ingente tarea de elaborar las ilustraciones.

Especial mención merece Juan-José Marcos García, creador de la fuente griega Alphabetum Unicode, quien cedió ésta de forma gratuita a Mario Díaz para la elaboración de este tipo de materiales.

*Mythologica*, sin lugar a dudas, es también el fruto del apoyo y el cariño que nos brindan cada día las personas que nos quieren, sin el cual no hubiéramos tenido las fuerzas necesarias para culminar lo que en su día fue un simple proyecto.

Y no podemos acabar este apartado de agradecimientos sin recordar a nuestro gran compañero y amigo, Juanvi Santa Isabel, que fue quien sembró en nosotros la semilla que ahora está dando sus frutos.

A todos, muchas gracias.

Los autores.

# PRÓLOGO

*Mythologica, οἱ μῦθοι τῆς Χαρᾶς* se presenta como un libro de lectura en griego antiguo, que nace con el objetivo principal de servir de complemento al método *Aléxandros: τὸ Ἑλληνικὸν παιδίον*, de Mario Díaz Ávila y publicado también por la editorial Cultura Clásica.

La idea de sacar a la luz un libro como éste, que fuera de utilidad a los alumnos que aprenden griego de la mano de Ἀλέξανδρος, llegó por la evidencia de que, al contrario que en los actuales modelos de enseñanza de segundas lenguas, el griego antiguo no contaba con materiales de lectura adaptados y secuenciados con que el estudiante pudiera acompañar el aprendizaje desde un primer momento. Era una laguna importante en el campo de la enseñanza activa de la lengua griega que hemos querido llenar, aunque sea en una pequeña parte, y el resultado es precisamente este libro.

Con estas premisas, en seguida se vio que la mitología griega era un campo de cultivo excelente para ofrecer a los estudiantes la posibilidad de leer en griego sobre temas griegos, y de hacerlo de una manera comprensiva siguiendo el mismo formato que *Aléxandros*, es decir, con el único acompañamiento de glosas marginales y explicaciones visuales y contextuales que guíen al lector a lo largo del libro.

De esta manera, el estudiante podrá alcanzar el objetivo fijado por los autores desde un principio: reforzar la asimilación del vocabulario y estructuras gramaticales de *Aléxandros*, mediante una lectura comprensiva de textos en griego adaptados y graduados, siguiendo los niveles del manual, sin la necesidad de recurrir a la traducción, al tiempo que se acerca al alumnado al estilo y contenido de autores griegos, como Platón, Palefato, Eratóstenes, Apolodoro, Luciano, etc.

A medida que se avanza en la lectura del libro, y según crece la complejidad sintáctica y semántica de los textos, el lector podrá encontrar expresiones, frases e incluso párrafos extraídos directamente de las fuentes utilizadas sin apenas modificaciones. De ahí a la lectura de los citados autores sólo hay un paso.

En la primera parte del libro se encuentran los catorce primeros capítulos dedicados a los dioses olímpicos. Los Dioses han sido elaborados por Mercedes Ovejas Arango, a partir de una serie de escritos en griego antiguo que realizó junto con Ana Ovando Moros para ser utilizados en la *Plaza de los Dioses*, en el marco de los *Ludi Saguntini*. Tras observar el gran trabajo que habían realizado, Mario Díaz consideró que estos textos no debían quedar circunscritos únicamente a ese ámbito, sino llegar a un público más amplio. La revisión y ampliación de estos primeros textos conforman, de hecho, los primeros catorce capítulos sobre los dioses olímpicos y son la base para la segunda parte, los Mitos.

Estos primeros mitos del libro están concebidos para servir de lectura, una vez que se han completado los cuatro primeros capítulos del *Aléxandros*, de manera que debían ceñirse en un alto grado al vocabulario y estructuras que allí aparecen, lo cual implicaba la dificultad de tener que escribir de manera sencilla, con un vocabulario limitado y utilizando únicamente el tiempo presente. Por ello Ana Ovando propuso que se presentaran los mitos en forma dialogada al más puro estilo de los diálogos de Platón o Luciano de Samosata: es precisamente Jará, la nodriza de *Aléxandros*, quien en su día a día con los niños entrelaza diferentes mitos a partir de cualquier circunstancia. Así pues, partiendo siempre de un hecho cotidiano o extraordinario, Jará y los niños inician un diálogo, gracias al cual se presentan los diferentes aspectos de un dios en concreto y se relata un mito conocido y de fácil comprensión. Naturalmente, estos hechos siempre están relacionados de una u otra manera con algún aspecto de la divinidad.

Si bien la parte dialogada es creación totalmente original, se han utilizado para la confección del diálogo algunas expresiones encontradas en obras clásicas, como por ejemplo en los diálogos platónicos. En cuanto a la construcción del mito siempre se ha trabajado a partir de uno o varios autores griegos que hubiesen escrito sobre el mito relatado por Jará. De esta manera, no sólo aseguramos la veracidad de dicho mito, sino que también adaptamos al nivel deseado las obras de los autores griegos en los que nos hemos basado. De hecho, en los mitos contados por la nodriza podemos encontrar fragmentos de Apolodoro, de Diodoro Sículo, de los Himnos Homéricos, de Filóstrato o de Pausanias.

La segunda parte del libro contiene siete de los mitos griegos más conocidos, que han sido redactados por César Martínez Sotodosos. Siguiendo un esquema similar al llevado a cabo por Mercedes Ovejas con los Dioses, los Mitos también están estructurados según la secuenciación didáctica del manual *Aléxandros*. Esta segunda parte del libro se abre con el mito de "Jasón y el Vellocino" y el de "Teseo y el Minotauro", que están adaptados tanto al vocabulario como a los contenidos gramaticales de los capítulos I-IV de *Aléxandros*. El segundo par de mitos, "Aracne y Atenea" y "Perseo y Medusa", se corresponden con los capítulos V-VII. Para los capítulos VIII-X encontramos el mito de "Orfeo y Eurídice" y el de "Apolo y Dafne". Por último, el mito de "Odiseo y el caballo de Troya" correrá parejo a los capítulos XI-XII.

Creemos, en definitiva, que con este libro ofrecemos un material novedoso y útil a aquellos profesores que usan un enfoque metodológico activo del griego antiguo en sus aulas, y en especial si se usa como complemento para *Aléxandros*, ya que, si bien el manual de Mario Díaz trata temas de la vida cotidiana e históricos, los relatos de dioses y héroes de *Mythologica* completan la visión de la sociedad y cultura de la Grecia antigua sin renunciar al fomento del aprendizaje activo a través de la lectura y comprensión del griego antiguo, al igual que se realiza en la enseñanza y aprendizaje de cualquier lengua moderna.

Mercedes Ovejas y César Martínez

Valencia, 1 de marzo de 2016

# ΑΝΑΓΡΑΦΙΟΝ


ΟΙ ΘΕΟΙ

| | | | |
|---|---|---|---|
| I. | Ἡ Ἀφροδίτη | *σελίς* | 17 |
| II. | Ἡ Ἑστία | | 20 |
| III. | Ἡ Δημήτηρ | | 23 |
| IV. | Ἡ Ἥρα | | 27 |
| V. | Ὁ Ποσειδῶν | | 30 |
| VI. | Ὁ Ἅιδης | | 33 |
| VII. | Ὁ Ζεύς | | 36 |
| VIII. | Ὁ Ἥφαιστος | | 39 |
| IX. | Ἡ Ἀθηνᾶ | | 42 |
| X. | Ὁ Ἄρης | | 45 |
| XI. | Ἡ Ἄρτεμις | | 48 |
| XII. | Ὁ Ἀπόλλων | | 51 |
| XIII. | Ὁ Ἑρμῆς | | 54 |
| XIV. | Ὁ Διόνυσος | | 57 |

ΟΙ ΜΥΘΟΙ

| | | | |
|---|---|---|---|
| XV. | Ὁ Ἰάσων καὶ τὸ χρυσόμαλλον δέρας | | 63 |
| XVI. | Ὁ Θησεὺς καὶ ὁ Μινώταυρος | | 73 |
| XVII. | Ἡ Ἀράχνη καὶ ἡ Ἀθηνᾶ | | 83 |
| XVIII. | Ὁ Περσεὺς καὶ ἡ Μέδουσα | | 91 |
| XIX. | Ὁ Ὀρφεὺς καὶ ἡ Εὐρυδίκη | | 101 |
| XX. | Ἡ Δάφνη καὶ ὁ Ἀπόλλων | | 109 |
| XXI. | Ὁ Ὀδυσσεὺς καὶ ὁ δούρειος ἵππος | | 117 |

ΛΕΞΕΙΣ 125
ΟΝΟΜΑΤΑ 133
ΑΝΑΓΡΑΦΙΟΝ ΒΙΒΛΙΩΝ 137
ΣΗΜΕΙΑ 141

# ΣΗΜΕΙΑ - NOTAE

| | | | |
|---|---|---|---|
| = | idem atque | κεφ. | κεφάλαιον / capitulum |
| : | id est | κλη. | κλητική / vocātīvus |
| ↔ | contrārium | μέλ. | μέλλων / futūrum |
| < | factum est | μετ. | μετοχή / participium |
| αἰτ. | αἰτιατική / accūsātīvus | ὀνομ. | ὀνομαστική / nōminātīvus |
| ἀλ. | ἀληθῶς / vērum | οὐδ. | οὐδέτερον / neutrum |
| ἀόρ. | ἀόριστος / aoristos | παθ. | παθητική / passīvum |
| ἀρσ. | ἀρσενικόν / masculīnum | παρακ. | παρακείμενος / perfectum |
| γεν. | γενική / genetīvus | παρατ. | παρατατικός / imperfectum |
| δοτ. | δοτική / datīvus | πληθ. | πληθυντικός / plūrālis |
| ἐνεργ. | ἐνεργητική / āctīvum | συγκ. | συγκριτικόν / comparātivus |
| ἐνεσ. | ἐνεστώς / praesēns | ὑπερθ. | ὑπερθετικόν / superlātivus |
| ἑνικ. | ἑνικός / singulāris | ὑποτ. | ὑποτακτική / coniūnctīvus |
| θηλ. | θηλυκόν / fēminīnum | ψευ. | ψευδῶς / falsum |

Ad paginarum latera explanantur vocabula quae non reperiuntur in libro cui titulus est ALEXANDROS, to Hellenikon paidion.

# ΟΙ ΘΕΟΙ





## Η ΑΘΗΝΑ

ὁ ἥλιος λάμπει

θερμαίνω < θερμός

Θέρος μέν ἐστι καὶ ὁ ἥλιος μάλα λάμπει καὶ θερμαίνει τοὺς λόφους, οἳ περιέχουσιν τὸ χωρίον. Ἡ δὲ Χαρά τε καὶ τὰ παιδία ἐν τῇ ὕλῃ παρὰ ποταμῷ εἰσιν· τὰ μὲν παιδία ὑπὸ δένδρῳ καθίζουσιν, ἡ δὲ Χαρὰ ἐπὶ λίθου· λαλοῦσι δὲ μετ´ ἀλλήλων.

Ἀλέξανδρος - Ἰδού, ὦ Χαρά, ἡ πόλις τῶν Ἀθηναίων καλὴ καὶ μεγάλη ἐστίν.

Χαρά - Ἀληθῶς λέγεις. Ἆρα γιγνώσκεις τίς ἐστι θεὰ τοῖς Ἀθηναίοις;

Ἀλέξανδρος - Πάνυ γε, ὦ Χαρά· ἡ δὴ Ἀθηνᾶ ἐστι θεὰ τοῖς Ἀθηναίοις, τέκνον τοῦ Διός.

Χαρά - Ἡ μὴν Ἀθηνᾶ γε τέκνον τοῦ Διός ἐστιν. Ὁ οὖν Ζεὺς αὐτὴν μάλα ἀγαπᾷ.

ἀγαπάω -ῶ = φιλέω, ἐράω

Ἀλέξανδρος - Τίς δ΄ ἐστίν ἡ μήτηρ;

Χαρά - Ἡ μήτηρ Μῆτις ἐστίν, αὕτη δὲ τὴν Ἀθηνᾶν οὐ τίκτει. Λέγω δὴ τὸν μῦθον· ὁ γὰρ Ζεὺς τὴν Μῆτιν πρώτην φιλεῖ καὶ αὐτῇ σύνεστιν. Ἡ μὲν οὖν Μῆτις ἔγκυός ἐστιν· ὁ δὲ αὐτὴν καταπίνει, ἐπειδὴ ἡ Γῆ αὐτῷ τοῦτο λέγει. Μετὰ δ΄ ὀλίγον χρόνον ὁ Ζεὺς ἐθέλει ἀποκυεῖν ἐκ τῆς αὐτοῦ κεφαλῆς τὴν Ἀθηνᾶν. Καὶ λέγει περὶ τούτου τῷ Ἡφαίστῳ, ὃς τῷ πελέκει τέμνει τὴν κεφαλὴν τοῦ Διὸς καὶ σὺν ὅπλοις ἐκβαίνει ἡ Ἀθηνᾶ, θεὰ τῆς τε σοφίας καὶ τῶν τεχνῶν.

σύνεστιν αὐτῇ : ἐστὶ μετ΄ αὐτῆς, φιλεῖ, ἐρᾷ



ἔγκυος, ον

ἀποκυέω -ῶ = τίκτω



ὁ πέλεκυς



τέμνω

ἡ σοφία < σοφός, ή, όν

Ἀλέξανδρος - Καὶ διὰ τί ἡ ἐλαία σημεῖον τῇ Ἀθηνᾷ ἐστιν;

Χαρά - Ὅτι ἐν ταῖς Ἀθήναις ἡ θεὰ τὴν πρώτην ἐλαίαν φυτεύει, ἣ νῦν ἐστι παρὰ τῷ Πανδροσείῳ ἐν τῇ Ἀκροπόλει. Τὸ δὲ Πανδροσεῖον ἐγγὺς τοῦ ναοῦ τῆς Ἀθηνᾶς ἐστιν. Ἆρα γιγνώσκετε, ὦ παιδία, τί ἐστιν ἐν τῷ Παρθενῶνι;

Ἀλέξανδρος - Τί δ᾽ ἔνδον;

Χαρά - Ἐν τῷ Παρθενῶνι ἐστὶ μέγα ἄγαλμα τῆς Ἀθηνᾶς, ὃ ὀρθόν ἐστιν ἐν χιτῶνι ποδήρει, καὶ κατὰ τὸ στέρνον ἡ κεφαλὴ Μεδούσης ἐστίν· Ἐν δὲ τῇ μὲν δεξιᾷ χειρί ἐστιν ἡ Νίκη, ἐν δὲ τῇ ἀριστερᾷ δόρυ ἔχει, καὶ πρὸς τοῖς ποσὶν ἡ ἀσπίς ἐστι καὶ πλησίον τοῦ δόρατος δράκων, ὅς ἐστιν Ἐριχθόνιος, τέκνον τῆς Ἀθηνᾶς. Ἰδού, ὦ Ἀλέξανδρε, ἥ τε Ἑλένη καὶ ὁ Στέφανος οὐκέτι καθίζουσιν· ἆρ᾽ ἐθέλεις περιπατεῖν μετ᾽ αὐτῶν κατὰ τὴν ὕλην;

Ἀλέξανδρος – Ναί.



ἡ Ἀκρόπολις



ὁ Παρθενὼν ναὸς τῆς Ἀθηνᾶς ἐστιν

τὸ ἄγαλμα τῆς Ἀθηνᾶς




ποδήρει : εἰς τοὺς πόδας

τοῖς ποσίν < ὁ πούς



πλησίον = ἐγγύς

οὐκέτι : οὐκ

# ΟΙ ΜΥΘΟΙ



# Ο ΘΗΣΕΥΣ ΚΑΙ Ο ΜΙΝΩΤΑΥΡΟΣ

Ἐν τῇ τῶν Τροιζηνίων χώρᾳ ἀνὴρ καὶ γυνὴ περιπατοῦσι παρὰ τὴν θάλατταν· τὸ δ ὄνομα αὐτῷ μὲν Αἰγεύς ἐστιν, αὐτῇ δ' Αἴθρα.

– "Μετ΄ ὀλίγον χρόνον", λέγει ὁ Αἰγεύς, "εἰς τὰς Ἀθήνας ἀναχωρῶ· βασιλεὺς γάρ εἰμι τῶν Ἀθηναίων."

ἀναχωρέω -ῶ : βαίνω

– "Ἀλλ΄ ἐντός μου", λέγει δὲ αὕτη, "φέρω τὸ τέκνον τὸ ἡμέτερον."

Ὁ δ' Αἰγεὺς πρῶτον μὲν σιγᾷ, ἔπειτα δὲ βαίνει πρὸς μεγάλην πέτραν· ὑπὸ δὲ ταύτῃ τῇ πέτρᾳ ἐστὶ τό τε ξίφος καὶ τὰ ὑποδήματα αὐτοῦ.



τὰ ὑποδήματα = τὰ σάνδαλα

– “Πολλοί μοι”, λέγει ὁ Αἰγεύς πρὸς τὴν Αἴθραν, “ἐχθροί εἰσι καὶ ἐθέλουσι τὰ τέκνα μου ἀποκτείνειν· οἰκεῖτε οὖν σὺ καὶ τὸ τέκνον ἐν τῷ χωρίῳ.”

ἐχθρός ↔ φίλος

Ὁ μὲν οὖν Αἰγεὺς εὐθὺς εἰς τὰς Ἀθήνας βαίνει. Μετὰ δ΄ οὐ πολὺν χρόνον ἡ Αἴθρα παιδίον τίκτει· τὸ δ΄ ὄνομα αὐτῷ ἐστι Θησεύς.

ὁ νεανίας : ὁ ἀρσενικὸς ἄνθρωπός ἐστι πρῶτον μὲν παιδίον, ἔπειτα δὲ νεανίας, εἶτα δὲ ἀνήρ
παιδίον – νεανίας - ἀνήρ

Ὁ μὲν Θησεὺς ἤδη ἑκκαίδεκα ἐτῶν ἐστιν· νεανίας δὲ καλὸς κἆγαθός. Οὗτος δ΄ οὐκ ἔχει οὔτε ἀδελφὸν οὔτε ἀδελφήν, οὐδὲ γιγνώσκει τὸν πατέρα αὐτοῦ.

κἆγαθός = καὶ ἀγαθός

– “Τίς ἐστιν ὁ πατήρ;” ἐρωτᾷ μὲν ὁ Θησεύς.

– “Αἰγεύς ἐστι τοὔνομα αὐτῷ”, λέγει ἡ μήτηρ.

τοὔνομα = τὸ ὄνομα

– “Ποῦ δή ἐστιν οὗτος, ὦ μῆτερ;” ἐρωτᾷ πάλιν ὁ νεανίας.

– “Ἀθήνησιν οἰκεῖ· ὁ γὰρ πατήρ ἐστι βασιλεὺς τῶν Ἀθηναίων.”

Ἀθήνησιν = ἐν ταῖς Ἀθήναις

Ὁ δὲ Θησεὺς ἐθέλει Ἀθήναζε ἀποχωρεῖν καὶ Ἀθήνησιν οἰκεῖν· ἐκεῖ γὰρ καὶ οἰκεῖ ὁ πατήρ αὐτοῦ. Ἡ οὖν μήτηρ λέγει τάδε·

Ἀθήναζε = εἰς τὰς Ἀθήνας

– “Ἆρα βλέπεις, ὦ τέκνον, ταύτην τὴν πέτραν; Ἔστι γὰρ δὴ ὑπὸ ταύτῃ τό τε ξίφος καὶ τὰ ὑποδήματα τοῦ πατρός."

Ὁ οὖν Θησεὺς πρὸς τὴν πέτραν βαίνει καὶ ταῦτα λαμβάνει. Μετὰ δὲ ταῦτα βαίνει εὐθὺς εἰς τὰς Ἀθήνας.

– "Ἔρρωσο, ὦ φίλτατον τέκνον," λέγει μὲν ἡ Αἴθρα.

– "Ἔρρωσο, ὦ φιλτάτη μήτερ," ὁ δὲ λέγει.

Ὁ οὖν Θησεὺς ἐκβαίνει ἐκ τῆς Τροιζῆνος καὶ διαβαίνει διὰ τῶν ἀγρῶν τῆς Ἑλλάδος εἰς τὰς Ἀθήνας. Μετὰ δ᾽ ὀλίγον χρόνον ἥκει ὁ Θησεὺς εἰς τὰς Ἀθήνας καὶ εἰσβαίνει εἰς τὴν τοῦ βασιλέως οἰκίαν.

– "Χαῖρε", λέγει μὲν ὁ Θησεύς.

– "Χαῖρε", λέγει δὲ ὁ Αἰγεύς.

Οὐ μὴν γιγνώσκει ὁ Αἰγεύς τίς ὁ νεανίας ἐστίν· ἀγνοεῖ γὰρ ὅτι οὗτος υἱὸς αὐτοῦ ἐστιν.

ὁ υἱός : τὸ ἀρσενικὸν τέκνον

Ἐν δὲ ταῖς Ἀθήναις ἐστὶν ἡ Μήδεια, ἡ γυνὴ τοῦ βασιλέως, ἥ ἐστι φαρμακίς. Αὕτη καὶ ἔχει υἱὸν ἀπὸ τοῦ Αἰγέως. Ἡ δὲ Μήδεια ἀναγνωρίζει τὸν Θησέα καὶ τοῦτον οὐ φιλεῖ. Καὶ λέγει τῷ βασιλεῖ τάδε.

ἀναγνωρίζω : γιγνώσκω

– "Ἐθέλω τὸν νεανίαν ἀποθνῄσκειν· ἐχθρὸς γὰρ σοί ἐστιν."

– "Μάλιστα", λέγει ὁ Αἰγεύς.



ἡ Μήδεια ἐγχεῖ τὸ φάρμακον εἰς τὸ ποτήριον

Ἡ οὖν Μήδεια τὸν Θησέα ἐπὶ δεῖπνον καλεῖ· ἐθέλει γὰρ αὐτὸν ἀποκτείνειν. Ἡ οὖν φαρμακὶς παρασκευάζει φάρμακον καὶ τοῦτο ἐγχεῖ εἰς τὸ ποτήριον τοῦ Θησέως. Οὗτος δὲ ἐπὶ δεῖπνον ἥκει καὶ ἐπὶ θρόνου καθίζει καὶ ἐθέλει πίνειν. Ἐπειδὴ δ΄ ὁ Αἰγεὺς ὁρᾷ τὸ ξίφος καὶ τὰ ὑποδήματα τοῦ νεανίου, ἀναγνωρίζει δὴ ταῦτα.

παρασκευάζω : ποιῶ

ἐγχέω : ἐμβάλλω, βάλλω ἔνδον

τὸ δεῖπνον : ἡ τροφή



ἐπὶ θρόνου καθίζει

– "Διὰ τί ἔχεις", ἐρωτᾷ μὲν ὁ βασιλεὺς τῷ νεανίᾳ, "τοῦτο τὸ ξίφος καὶ ταῦτα τὰ ὑποδήματα;"

– "Ἐκ τοῦ πατρὸς μού ἐστι", λέγει δὲ ὁ Θησεύς.

Ὁ δὴ Αἰγεὺς ἀναγνωρίζει τὸν υἱὸν αὐτοῦ, τὸν Θησέα.

– "Σὺ εἶ υἱὸς ἐμός", λέγει ὁ Αἰγεὺς καὶ βάλλει τὸ ποτήριον τοῦ Θησέως ἐπὶ τὴν γῆν.



ἡ Μήδεια φεύγει ἐπὶ ἁμάξης διὰ τὸν οὐρανόν

Ὁ οὖν Θησεὺς οὐκ ἀποθνῄσκει. Ὁ δὲ Αἰγεὺς ἐθέλει τὴν Μήδειαν ἀποκτείνειν, αὕτη δὲ φεύγει ἐπὶ ἁμάξης διὰ τὸν οὐρανόν· φαρμακὶς γάρ ἐστιν. Ὁ δὲ Θησεύς καὶ ὁ Αἰγεὺς Ἀθήνησιν οἰκοῦσιν.

Μετὰ δʹ οὐ πολὺν χρόνον ὁ Θησεὺς ὁρᾷ τὸν Αἰγέα ἐν τῇ αὐλῇ, πόρρω τῶν ἀνθρώπων.

πόρρω ↔ ἐγγύς

– "Τί δή ἐστιν;" ἐρωτᾷ μὲν ὁ Θησεύς.

– "Ὁ Μίνως, ὁ βασιλεὺς τῆς Κρήτης", λέγει δὲ ὁ Αἰγεύς, "ἐθέλει ἑπτά τε νεανίας καὶ ἑπτὰ παρθένους· ἡμεῖς γὰρ τούτους αὐτῷ πέμπομεν, οὐκ μέντοι ἐθέλω."

Ἐκεῖ δὲ καὶ οἰκεῖ ὁ Μινώταυρος, ὅς ἐστιν ἐντὸς τοῦ λαβυρίνθου καὶ ἐσθίει ἀνθρώπους· τὰ μὲν κάτω ἄνθρωπός ἐστιν, τὰ δʹ ἄνω ταῦρος.

Ὁ δὲ Μίνως ἐθέλει τοὺς Ἀθηναίους ἑπτὰ νεανίας καὶ ἑπτὰ παρθένους τῷ Μινωταύρῳ πέμπειν κατὰ ἔτος. Ὁ γὰρ Μίνως δεινὸς βασιλεύς ἐστι καὶ οἱ ἄνθρωποι τοῦτον οὐ φιλοῦσιν.

– “Ἐθέλω”, λέγει ὁ Θησεύς, “τούτοις βοηθεῖν· καὶ πρὸς τὴν Κρήτην καὶ ἐγὼ πλέω, ὦ πάτερ· ἐθέλω γὰρ τὸν Μινώταυρον ἀποκτείνειν καὶ ἄγειν τοὺς νεανίας καὶ τὰς παρθένους πάλιν Ἀθήναζε.”

Ὁ οὖν Αἰγεὺς πέμπει καὶ τὸν Θησέα πρὸς τὴν Κρήτην. Ὁ δὲ Θησεὺς καὶ οἱ ἄλλοι εἰσβαίνουσιν εἰς τὸ πλοῖον, ὃ ἔχει ἱστία μέλανα· ἔστι γὰρ χρῶμα τοῦ θανάτου.

τὸ χρῶμα : λευκός, μέλας...

ὁ θάνατος < ἀποθνῄσκω

– “Ἄγε πάλιν τοὺς νεανίας καὶ τὰς παρθένους”, λέγει ὁ Αἰγεὺς τῷ υἱῷ. “Φέρε αὖ ἐκείνῃ τῇ ἡμέρᾳ ἱστία λευκά, ὅτι λευκόν ἐστι χρῶμα τοῦ βίου, οὐ τοῦ θανάτου.”

ἡ παρθένος ↔ ἄγαμος γυνή

ὁ βίος ↔ ὁ θάνατος

